Σαπφὼ Μυτιληναία:

## ΠΑΙ ΔΙΩΝΑΣ ΚΥΠΡΟΓΕΝΗΑ ΕΛΘΕ

Παῖ Διώνας Κυπρογένηα σέμνα,
Παρκάλημμι σ' εἰς ἐράταν ἑόρταν,
Ἔλθε δ' ὠκέως ὀράνω καράνο-
θεν κατίοισα

Δεῦρό μ', εἶ Κρῆτές ποτ' ἔσαντο ναῦον
Ἄγνον, ὄππα δὴ χάριεν μὲν ἄλσος
Μαλίαν, βῶμοι δ' ἐπιθυμιάμε-
νοι λιβανώτῳ.

Ἐν δ' ὕδωρ ψῦχρον κελάδει δι' ὔσδων
Μαλίνων, βρόδοισι δὲ παῖς ὁ χῶρος
Ἐσκίαστ', αἰθυσσομένων δὲ φύλλων
κῶμα κατέρρει.

Ἐν δὲ λείμων ἰππόβοτος τέθαλε
Ζωπυρίννοισ' ἄνθεσιν, αἱ δ' ἄνητοι
Μέλλιχα πνέοισιν ἐν ἦρος ὥρᾳ
καὶ μελίλωτοι.

Ἔνθα δὴ σὺ πότνι' ἔλοισα Κύπρι
Χρυσέαισιν ἐν κυλίκεσσιν ἄβρως
Ἐμμεμείχμενον θαλίαισι νέκταρ
οἰνοχόαισον.

## DIONAE FILIA CYPRIS, VENI!

O Dionae filia blanda Cypris,
Te precans ad festa voco verenda,
Grata de caelis venias citata
Lapsa deorsum

Huc mihi, Cretes ubi condiderunt
Inclutum templum! Nemus hic amoenum
Nempe malorum est redolentque in aris
Tura vaporis.

Hic aquae gelidae sonant susurro
Arborum ramis; regio omnis ampla
Est rosis umbrosa fluitque somnus
Fronde trementi.

Est equis hic pascua laeta pratum
Floribus plenum rutilis, anisi
Vere spargunt nunc placidos odores
Ac meliloti.

Advola festis, veneranda Cypris,
Atque nobis in calices, benigna,
Aureos mixtum bene delicatum
Fundito nectar!

*Ljubljana.* Vertit: *S. Kopriva*